**ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερές**

**1.** – – ⏑ ⏑ – – ⏑

Trich. 392. 6 sqq. δίμετρον δὲ (*scil.* ἰωνικὸν ἀπὸ μείζονος) καταληκτικὸν τό·

ἐν δ᾽ ἁμερίῳ φωτί.

τοῦτο δὲ καὶ ἐπίσημόν ἐστιν, ἑφθημιμερὲς καλούμενον, ὅτι τρεῖς ἥμισυ ἔχει δισυλλαβίας, αἵ εἰσιν ἥμισυ τοῦ ἑπτά. πολλῷ δὲ τῷ τοιούτῳ ἡ ποιήτρια Τελέσιλλα κέχρηται.

**2.** × – ⏑ ⏑ – ⏑ ×

Hephaest. 35. 8 sqq. ἔστι τοίνυν ἐπίσημα ἐν τῷ ἰωνικῷ (*scil.* τῷ ἀπὸ μείζονος) ἑφθημιμερῆ μὲν τὰ τοιαῦτα, οἷς ἡ Τελέσιλλα ἐχρήσατο· (fr. 1 [PMG 717] Page)

ἅδ᾽ Ἄρτεμις, ὦ κόραι
φεύγοισα τὸν Ἀλφεόν, κτλ.

Tzetz. *de metr. Pind.* 115. 9 sqq.

ἑνδέκατον ἰωνικὸν ἀλλ᾽ ἀπὸ τῶν μειζόνων
δίμετρον καταληκτικόν· κατὰ δισυλλαβίαν
καλεῖται δ᾽ ἑφθημιμερές· ὅρα ἰδοὺ τὴν θέσιν.
ἰωνικά (*Cramer*: ἰαμβικά M, *desunt* AP)
– – ⏑ ⏑ – [⏑] – (*ultimam brevem in ras. praebet* M³ *i. e. Triclinius, desunt* AP).

Schol. vet. in Pind. *Ol.* 14 (p. 13. 3 Tessier) τὸ ια′ ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερές.

Schol. rec. in Pind. *Ol.* 14 (p. 420. 23 sq. Abel) τὸ ια′ ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερές.

Schol. vet. in Pind. *Nem.* 4 (p. 23. 12 Tessier) τὸ θ′ ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) ἑφθημιμερές. ... 17 sqq. ἡ ἐπῳδὸς ὁμοίως κώλων ιγ′ ... τὸ θ′ ... ὁμοίως τῇ στροφῇ καὶ ἀντιστρόφῳ.

Schol. Tricl. in Soph. *Ai.* 879a (p. 17. 21 sqq. Tessier) τὸ γ′, ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) δίμετρον καταληκτικόν· ἤτοι ἑφθημιμερές· ἐκ παίωνος β′ καὶ τροχαικῆς συζυγίας καταληκτικῆς.

Schol. Tricl. in Soph. *Ai.* 1199a (p. 24. 16 sq. Tessier) τὸ θ′, ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) δίμετρον καταληκτικόν· ἤτοι ἑφθημιμερές· ἐκ παίωνος β′.

Schol. Tricl. in Eur. *Hec.* 466-474a (p. 26 De Faveri) τὸ α′ ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) δ[ίμετ]ρον καταληκτικὸν [ἑφθημιμ]ερές, ἐξ ἰωνικοῦ ἀπὸ μείζο[-νος] καὶ κρητικοῦ, ἤτοι ἀμφιμάκρου. τὸ β′ ὅμοιον κατὰ πάντα.

Schol. Tricl. in Eur. *Hec.* 905-913a (p. 35 De Faveri) τὸ ζ′ ἰωνικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ κρητικοῦ, ἤτοι ἀμφιμάκρου.

Schol. in Aristoph. *av.* 920a. 6 sq. (p. 144 Holwerda) Tr τὸ ς′ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· εἰ δὲ βούλει, ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) ἑφθημιμερές.

Schol. in Aristoph. *eq.* 1111a (p. 241. 3 sqq. Jones-Wilson) vet ὦ Δῆμε] διπλῆ καὶ ἐν εἰσθέσει μέλος μονοστροφικὸν ἀμοιβαῖον περιόδων τεσσάρων

ἐναλλὰξ τοῦ χοροῦ <καὶ τοῦ ὑποκριτοῦ>. δεκάκωλοι δέ εἰσιν αἱ περίοδοι, ἰωνικαὶ ἀπὸ μείζονος, ὧν τὰ μέν ἐστιν ἑφθημιμερῆ, δύο δὲ ἡμιόλια, τὸ τέταρτον καὶ τὸ δέκατον.

Schol. in Aristoph. *eq.* 1111b (p. 241. 9 sqq. Jones - Wilson) Tr (ad vv. 1111-50) δεκάκωλοι δέ εἰσιν αἱ περίοδοι, τὸ δὲ μέτρον ἰωνικὸν ἀπὸ μείζονος, ὧν τὰ μέν ἐστι δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ οἷς καὶ Ἀνακρέων ἐχρήσατο, τὰ δὲ ἡμιόλια ἤτοι δίμετρα βραχυκατάληκτα, τὸ τέταρτον καὶ δέκατον ἑκάστης στροφῆς.

Schol. in Aristoph. *pac.* 856a. 1 sqq. (p. 131 Holwerda) vet εὐδαιμονικῶς: διπλῆ· ἕπεται γὰρ μέλος ἀμοιβαῖον τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ. οὗ ἐστι πρῶτον ἐν εἰσθέσει κῶλα γ′ τοῦ χοροῦ, ὧν τὸ πρῶτον καὶ τὸ β′ ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερῆ συνημμένα.

Schol. rec. in Aristoph. *ran.* 1309-1324a. 16 sq. (p. 218 Chantry) τὸ ι′ πρώραις κυανεμβόλοις (v. 1318) ἰωνικὸν ἑφθημιμερὲς ἤτοι δίμετρον καταληκτικόν, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ κρητικοῦ.

Schol. A in Hephaest. 145. 8 sqq. τὸ ἰωνικὸν ἑφθημιμερὲς τρεῖς ἔχει πόδας καὶ συλλαβήν· καὶ ἐν τούτῳ (*scil.* Telesill. 1 [PMG 717] Page) ἡ πρώτη ἀδιάφορος· ἡ δὲ κατακλεὶς τροχαική.

**3.** – – ⏑ ⏑ ⏑ ⏑ –

Schol. rec. in Aristoph. *nub.* 1154a. 9 sq. (p. 162 Koster) Tr[1] τὸ η′ ʽλάμπων πρόβολος ἐμόςʼ (v. 1160 sq.) ἰωνικὸν ἑφθημιμερὲς ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον.

Schol. ald. in Aristoph. *nub.* 1154 (p. 278. 10 sq. Koster) τὸ ὄγδοον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χορείου δίμετρον.

Schol. rec. in Aristoph. *ran.* 1338-1345a. 18 sqq. (p. 226 Chantry) τὸ κε′ ʽνύμφαι ὀρεσίγονοιʼ (finis v. 1344) διμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς ἰωνικόν, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ ἀναπαίστου.

**4.** – – ⏑ – – ⏑ –

Schol. rec. in Aristoph. *nub.* 1206b. 3 sq. (p. 169 Koster) Tr[2] = Schol. ald. in Aristoph. *nub.* 1206 (p. 279. 5 Koster) τὸ β′ ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερὲς ἀντὶ ἰωνικοῦ ἔχον ἐπίτριτον ... τὸ δ′ ὅμοιον τῷ β′ (δευτέρῳ Ald.). [*P.S.*]